ἀλλ' ἐμπειρίαν· εἶτα πρὸς ἀλήθειαν ὁρῶν ὁ Σωκράτης καὶ οὐ πρὸς μάχην οὐ λέγει ἄντικρυς, ὅτι ἐμπειρία ἐστίν, ἀλλά φησιν, ὅτι πρᾶγμά ἐστιν ἡ ῥητορική, ὃ σὺ φῄς. ὁ γὰρ Πῶλος ὡς ἔγνωμεν ἄνω ἐμπειρίαν ὠνόμασε λέγων, ὅτι ἐμπειρία ποιεῖ τὸν αἰῶνα ἡμῶν πορεύεσθαι κατὰ τέχνην· εἰ τοίνυν ἡ ἐμπειρία τῆς τέχνης ἐστὶ ποιητικὸν αἴτιον, τὸ δὲ ποιητικὸν κρεῖττον τοῦ ἀποτελέσματος, ἐμπειρίαν ἄρα δεῖ καλεῖν τὴν ῥητορικὴν καὶ ἐμπειρίαν τινά· καὶ γὰρ ἡ ὀψοποιητικὴ καὶ ἡ κομμωτικὴ ἐμπειρίαι ἀλλ' οὐ τοιαῦται· ἐμπειρία τοίνυν ἐστὶ χάριτος καὶ ἡδονῆς· χαρίζεται γὰρ ἡ ῥητορικὴ τὰ ἡδέα· οὕτως δὲ καὶ ἡ ὀψοποιητικὴ ἀναφαίνεται καὶ ἡ κομμωτικὴ καὶ γὰρ αὗται ἐμπειρίαι τὸ ἡδὺ χαριζόμεναι· ἡδὺ δὲ παρέχει ἡ ῥητορικὴ τὸ πρὸς κακίαν ὁρῶν· οὐ γὰρ τὸ ὄντως· ἐκεῖνο γὰρ μετὰ τοῦ νοῦ ἐστι· σύνθετος γὰρ ἡμῶν ὁ βίος ἔκ τε τοῦ νοῦ καὶ τῆς ἡδονῆς· οὔτε γὰρ ὁ νοῦς ὡς εἴρηται ἀγλευκὴς καθ' ἑαυτὸν θέλει εἶναι οὔτε ἡ ἡδονὴ ἄνευ νοῦ· ἐπεὶ οὖν ἔχοντες τὸ ἀνεμπόδιστον ἡδόμεθα ὅσῳ ἂν εἴη τὸ ἀνεμπόδιστον, τοσούτῳ πλέον ἡδόμεθα. ἐπεὶ οὖν ὁ νοῦς ἄυλος ὢν ἀνεμπόδιστος πάντῃ ἀεὶ ἡδονὴν ἁπλῆν ἔχει· πρὸς ἡδονὴν οὖν ὁρᾷ ἡ ῥητορική. εἰ δέ τις εἴποι καὶ μὴν ὁ Δημοσθένης διαβάλλει τοὺς πρὸς ἡδονὴν ὁρῶντας καὶ λέγοντας· τί βούλεσθε; τί γράψω; τί δὲ ὑμῖν χαρίσωμαι; εἰπὲ πρὸς αὐτόν, ὅτι τὰ πάθη πολλά ἐστιν. ἔστιν γὰρ πάθος φιλότιμον, ἔστιν πάθος κολακικόν, ἔστιν πάθος ἀκόλαστον· εἰ οὖν καὶ τὸ κολακικὸν πάθος οὐκ εἶχεν ὁ Δημοσθένης, ἀλλ' οὖν ἡδονὴν φιλοτιμίας εἶχεν καὶ ἄλλως ἀναστρεφόμενος ἐν δημοκρατίᾳ, πῶς οὐ κόλαξ ἦν ἀριστοκρατίας ἀμελῶν· ὁ μὲν οὖν Σωκράτης λέγει τὰ δύο, ὅτι χάριτος ἔχει ἡδονήν· ὁ δὲ Πῶλος κακούργως καὶ ἀπαιδεύτως τὸ μὲν ἡδονῆς παραλιμπάνει, τὸ δὲ χάριτος λαμβάνει καὶ συλλογίζεται· ὅτι ἡ ῥητορικὴ χαρίζεται· πᾶν τὸ χαριζόμενον ἀγαθόν ἐστιν· ἡ ῥητορικὴ ἄρα ἀγαθόν ἐστι· πρῶτον μὲν οὖν τὸ ἕτερον τῆς προτάσεως λαβὼν κακῶς ποιεῖ· ἔπειτα τὴν μείζονα πρότασιν τὴν λέγουσαν, ὅτι

---

**20** Demosth. orat. III 22

---

**14** mg. ση. ὅτι ὁ νοῦς οὐκ ὀφείλει ἄνευ ἡδονῆς ὑπάρχειν καὶ τὸ ἀνάπαλιν **20** mg. ἀπορία